μήτε ὁμοφύλων πάντων, μήτε θυμοειδῶν. A οὕτω γὰρ ἂν πρός τε τὴν ἐργασίαν εἶεν χρήσιμοι, καὶ πρὸς τὸ μηδὲν νεωτερίζειν ἀσφαλεῖς. δεύτερον δὲ βαρβάρους περιοίκους παραπλησίους τοῖς εἰρημένοις τὴν φύσιν. τούτων δέ, τοὺς μὲν ἰδίους ἐν τοῖς ἰδίοις εἶναι τῶν κεκτημένων τὰς οὐσίας· τοὺς δέ, ἐπὶ τῇ κοινῇ γῇ, κοινούς. τίνα δὲ δεῖ τρόπον χρῆσθαι δούλοις, καὶ διότι βέλτιον πᾶσι τοῖς δούλοις ἆθλον B προκεῖσθαι τὴν ἐλευθερίαν, ὕστερον ἐροῦμεν.

Κεφάλαιον ια.

Τὴν δὲ πόλιν, ὅτι μὲν δεῖ κοινὴν εἶναι τῆς ἠπείρου τε καὶ τῆς θαλάσσης, καὶ τῆς χώρας ἁπάσης ὁμοίως, ἐκ τῶν ἐνδεχομένων εἴρηται πρότερον. αὐτῆς δὲ πρὸς αὐτὴν εἶναι τὴν θέσιν εὔχεσθαι δεῖ κατατυγχάνειν, πρὸς τέτταρα βλέποντας, πρῶτον μέν, ὡς ἀναγκαῖον, πρὸς ὑγίειαν. αἵ τε γὰρ πρὸς ἕω τὴν C ἔγκλισιν ἔχουσαι, καὶ πρὸς τὰ πνεύματα τὰ πνέοντα ἀπὸ τῆς ἀνατολῆς, ὑγιεινότεραι. δεύτερον δέ, κατὰ βορέαν· εὐχείμεροι γὰρ αὗται μᾶλλον. τῶν δὲ λοιπῶν πρός τε τὰς πολιτικὰς πράξεις καὶ πολεμικάς, καλῶς ἔχειν. πρὸς μὲν οὖν τὰς πολεμικάς, αὐτοῖς μὲν εὐέξοδον εἶναι χρή· τοῖς δ' ἐναντίοις δυσπρόσοδον, καὶ δυσπερίληπτον. ὑδάτων τε καὶ ναμά- D των, μάλιστα μὲν ὑπάρχειν πλῆθος οἰκεῖον· εἰ δὲ μή, τοῦτό γ' εὕρηται διὰ τοῦ κατασκευάζειν ὑποδοχὰς ὀμβρίοις ὕδασιν ἀφθόνους καὶ μεγάλας. ὥστε μηδέποτε ὑπολείπειν εἰργομένοις τῆς χώρας διὰ πόλεμον. ἐπεὶ δὲ δεῖ περὶ ὑγιείας φροντίζειν τῶν ἐνοικούντων· τοῦτο δ' ἐστὶν ἐν τῷ κεῖσθαι τὸν τόπον, ἔν τε τοιούτῳ, καὶ πρὸς τοιοῦτον καλῶς· δεύτερον δέ, ὕδασιν ὑγιεινοῖς χρῆσθαι· καὶ τούτου τὴν ἐ- E πιμέλειαν ἔχειν μὴ παρέργως. οἷς γὰρ πλείστοις χρώμεθα πρὸς τὸ σῶμα καὶ πλειστάκις, ταῦτα πλεῖστον συμβάλλεται πρὸς τὴν ὑγίειαν. ἡ δὲ τῶν ὑδάτων καὶ τοῦ πνεύματος δύναμις, τοιαύτην ἔχει τὴν φύσιν, διόπερ ἐν ταῖς εὖ φρονούσαις δεῖ διωρίσθαι πόλεσιν, ἐὰν μὴ πάνθ' ὅμοια, μήτ' ἀφθονία τούτων ἢ ναμάτων, χωρὶς τά τε εἰς τροφὴν ὕδατα, καὶ τὰ πρὸς F τὴν ἄλλην χρείαν. περὶ δὲ τόπων τῶν ἐρυμνῶν, οὐ πάσαις ὁμοίως ἔχει τὸ συμφέρον ταῖς πολιτείαις· οἷον, ἀκρόπολις, ὀλιγαρχικὸν καὶ μοναρχικόν. δημοκρατικὸν δέ, ὁμαλότης· ἀριστοκρατικὸν δέ, οὐδέτερον· ἀλλὰ μᾶλλον ἰσχυροὶ τόποι πλείους. ἡ δὲ τῶν ἰδίων οἰκήσεων διάθεσις, ἡδίων μὲν νομίζεται καὶ χρησιμωτέρα πρὸς τὰς ἄλλας

A ſerui eſſe debent: neque omnis vnius generis, neque animo elati. ita & ad faciendum opus vtiles forent, & nihil noui ab eis metueretur. Secundo autem loco Barbari miniſtri, natura ſimiles his quos ſuprà diximus. Horum autem in priuatis quidem agris & ipſi priuatorum dominorũ ſint in publicis vero publici. Quemadmodũ autem ſeruis vtendum ſit, & quare melius eſt omnibus ſeruis præmium libertatis eſſe propoſitum, poſtea dicemus.

CAPVT XI.

Vrbs autem quòd terræ mariſque particeps eſſe debet, & quòd ad totam regionẽ ſimiliter debet eſſe cõmunis quantum fieri poteſt, dictum eſt prius. Ipſius autem ad ſeipſam, optandum eſt poſitionem ſortiri, ad quatuor reſpicientes. Primum ad ſanitatem. ad orientem enim Solem conuerſæ vrbes, & ad eos ventos qui inde perflant, ſalubriores ſunt: ſecundo loco quæ ſunt ſecundum Boream ſitæ. hæ nanque ſunt ad hyberna potiores. In reliquis verò, vt ad ciuiles res & ad bellicas opportunè ſe habeat: ad bellicas quidem, vt facilis ſit ciuibus in aliena egreſſio, hoſtibus autem difficilis aditio, ac difficilis circundatio. Aquarum autem & ſtagnorũ abundantiam habeat, maximè naturalem. quod ſi naturalis deficiat, ex aqua pluuia ciſternæ, & lacus, qui magnam vim aquarum ſuſcipiant, comparentur, ita vt deeſſe aqua, ſi quando obſiderentur, nunquam poſſit. Sed cùm oporteat de ſanitate habitãtium curam habere, hoc autem ſit primum in ſitu & qualitate loci, ſecundum in aquarum ſalubrium vſu, in ea quoque re eſt diligentia meritò adhibenda. Quibus enim plurimum & frequentiſſimè vtimur ad corpus, ea plurimum important ad ſanitatem. aquarum autem & ventorum potẽtia E talem habent naturam. Quapropter in ciuitatibus quæ rectè ſapiunt, diſtinguẽdus eſt aquarum vſus, ſi non omnes ſunt pares, nec abundantia ſit earum aquarum, vt aliæ ſeorſim aquæ ad cibum & potum, aliæ ad aliam indigentiam deputentur. Loca autem munita, non pariter cunctis ciuitatibus, vtilia ſunt. vrputa arx ad dominationem vnius, vel paucorum. in popu- F lari verò viuendi modo, æqualitas loci. in optimatum verò gubernatione, neutrum iſtorum, ſed magis loci plures ardui. Priuatarum autem domorum forma gratior & commodior ad cæteras res exiſti-